„ ὑποπόδιόν τῶν ποδῶν αὐτοῦ ἐστί. Μήτε εἰς Ἱεροσόλυμα, ὅτι
„ πόλις ἐστὶ τοῦ βασιλέως τοῦ μεγάλου. Ἀλλὰ μηδὲ ἐν τῇ κεφαλῇ
„ σου, φησὶν, ὅτι οὐ δύνασαι ποιῆσαι ἐξ αὐτῆς λευκὴν τρίχα
„ ἢ μέλαιναν. Κεφαλὴν, καὶ Ἱεροσόλυμα, καὶ γῆν, καὶ οὐρανὸν,
τὰ αἰσθητὰ, τὰ ὄψει κρινόμενα, λέγων, ἃ τοῖς Ἰουδαίοις
ἔθος ἦν ὅρκον ποιεῖσθαι. Μὴ δὲ πάλιν εἰς μύθους καὶ λήρους
τὴν κεφαλὴν καὶ τὰ Ἱεροσόλυμα, καὶ τὴν γῆν, καὶ οὐρανὸν,
ἡ μανία παρατρέπῃ. τὸν γὰρ ὁρώμενον οὐρανὸν, καὶ τὴν αἰσθ-
τὴν γῆν, καὶ τὰ Ἱεροσόλυμα, ἃ πάλαι μὲν ᾠκοδόμητο,
γενεαῖς δὲ ὕστερον ὁ Δαβὶδ ἀνοικοδομεῖ καὶ πολίζει. τὸν
τὸν μὲν θρόνον καλεῖ, τὴν δὲ ὑποπόδιον, τὰ δὲ πόλιν
τοῦ μεγάλου βασιλέως. Ποίου δὲ βασιλέως, αὐτὸς ἑτέρωθι
„ σαφέστερον ἐκδιδάσκει. Μὴ ποιεῖτε, λέγων, τὸν οἶκον τοῦ
„ πατρός μου οἶκον ἐμπορίου· τὸν ἐν Ἱεροσολύμοις ναὸν τοῦ
πατρὸς οἶκον ἀποσεμνύνων. Διὸ καὶ τὰ Ἱεροσόλυμα τοῦ βα-
σιλέως πόλιν καλεῖ. Ὃν γὰρ ἐν τῇ τῶν ὅρκων ἀπαγορευο-
μένων ἀνάπτει βασιλέα, ἐνταῦθα πατέρα ἴδιον ἐθεολόγει.
Διὸ καὶ τοὺς πωλοῦντας τοὺς βόας, καὶ τὰ πρόβατα, καὶ
τὰς περιστερὰς, τὴν πατρικὴν οἰκίαν τῆς ἐμπορικῆς
καθαίρων παρανομίας ἀπελαύνει, καὶ τὴν δικαίαν αὐτοῖς
ὀργὴν ἀπειλεῖ· οἷα δὴ καταφρονηταῖς οὖσιν, καὶ τοῦ πα-
τρικοῦ οἴκου, καὶ τῆς πατρικῆς ἐντολῆς. Χωρὶς δὲ τῶν
εἰρημένων καὶ πρότερον μὲν ὑπὸ τοῦ παναγίου πνεύματος
ἐμπνεόμενος ὁ Δαβὶδ, ὕστερον δὲ καὶ ὁ θεῖος Παῦλος
λαμπρᾷ διακέκραγε τῇ φωνῇ, ὡς ὁ κηρυττόμενος
ὑπὸ Μωσέως θεὸς, πρὸς τὸν κύριον ἡμῶν Ἰησοῦν
Χριστὸν λέγει. Τῷ σωτῆρι γὰρ ἡμῶν ὁ Παῦλος

πρὸς

http://digital.slub-dresden.de/ppn345414306/95